# 99. THE DEPARTURE FROM GALILEE (Mk-Lk Identicals)

Mark 10:1

*Καὶ ἐκεῖθεν ἀναστὰς*
*ἔρχεται εἰς τὰ ὅρια*
*τῆς Ἰουδαίας*
*καὶ πέραν τοῦ Ἰορδάνου,*
*καὶ συμπορεύονται πάλιν*
*ὄχλοι πρὸς αὐτόν,*
*καὶ ὡς εἰώθει πάλιν ἐδίδασκεν*
*αὐτούς.*

Luke 9:51-56

*Ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι*
*τὰς ἡμέρας τῆς ἀναλήμψεως αὐτοῦ*
*καὶ αὐτὸς τὸ πρόσωπον ἐστήρισεν*
*τοῦ πορεύεσθαι εἰς Ἰερουσαλήμ, 52*
*καὶ ἀπέστειλεν ἀγγέλους πρὸ*
*προσώπου αὐτοῦ. καὶ πορευθέντες*
*εἰσῆλθον εἰς κώμην Σαμαριτῶν, ὡς*
*ἑτοιμάσαι αὐτῷ· 53 καὶ οὐκ*
*ἐδέξαντο αὐτόν, ὅτι τὸ πρόσωπον*
*αὐτοῦ ἦν πορευόμενον εἰς*
*Ἰερουσαλήμ. 54 ἰδόντες δὲ οἱ*
*μαθηταὶ Ἰάκωβος καὶ Ἰωάννης*
*εἶπαν, Κύριε, θέλεις εἴπωμεν πῦρ*
*καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ καὶ*
*ἀναλῶσαι αὐτούς 55 στραφεὶς δὲ*
*ἐπετίμησεν αὐτοῖς. 56 καὶ*
*ἐπορεύθησαν εἰς ἑτέραν κώμην*

0 words out of 97 words = 0%